## B.

Γερμανοῦ τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως ἐπιστολὴ σταλεῖσα ἐν τῇ νήσῳ Κύπρῳ παρά τε αὐτοῦ καὶ τῆς ἱερᾶς συνόδου, ἀρχιερατεύοντος ἐν τῇ αὐτῇ νήσῳ τοῦ κυροῦ Νεοφύτου, καὶ ἀναγκαζομένου παρὰ Λατίνων, ὑποταγῆναι αὐτοῖς.

Ἡ νῆσος ἡ Κύπρος ἡ (1) περιλάλητος, ἣν πόντου μὲν ὑγρὸν στόμα κύκλῳ προσπτύσσεται, πυριμενῆ δὲ χείλη ρητόρων καὶ γραφέων διαφημίζουσιν, εὖ μὲν θέσεως, εὖ δὲ κράσεως ἔχουσαν, οἷα θηλὴν θαλάσσης βρίθουσαν ἀγαθοῖς, καὶ ἐν ἀτρυγήτῳ παράδεισον, καὶ τῆς ἅλμης πέδον γλυκύχυμον, καὶ νῆσον ἄλλην μακάρων, καὶ μελιτόβρυτον γῆν, οὐ μόνον ἐξ ἑαυτῆς τὸ πάμφορον βλύσασαν, ἀλλὰ καὶ τοῖς ἔξωθεν περιαντλουμένην καλοῖς, ὁπόσα ταύτῃ παρὰ τῆς ὑγρᾶς ἐπεισβάλλουσιν.

Ἡδ' ἡ (2) Κύπρος αὕτη, ἡ πρὶν εὐδαίμων τε καὶ λαμπρά, οὐ τόσον ἐκ τῶν φυσικῶν χαρίτων ἐπίσημος ἦν, ὡς ὁ λόγος προδιεμόρφωσεν, οὐδ' οὕτω ταύτην ἄλλο τι τῶν ἁπάντων ἐσέμνυνεν (3), ὡς ὁ τῆς εὐσεβείας μᾶλλον καρπός, καὶ ὁ τοῦ εὐαγγελίου σπόρος, ἑκατοστεύων εἰς εὔσταχυν, τά τε τῆς διδασκαλίας εὔρυτα νάματα καὶ ἡ πολυανθὴς λειμονιὰ (4) τῶν γραφῶν, καὶ ἡ τῶν τέκνων τῆς ἐκκλησίας πληθὺς ὡς τοῦ ἀγροῦ τὸ παμβότανον, ὥσπερ νῆσον ἐγκαινιζομένην, τὸ τῆς γραφῆς, καὶ ὁσημέραι πρὸς τὸ κρεῖττον ἀνανεουμένην τε καὶ προβαίνου-

(1) Cotel. Κύπρος περιλάλητος. (2) Ἡ δὲ Κύπρος. (3) ἐσέμνυνε. (4) λειμωνία.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ